UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Epistolai tu hagiu Isidōru tu Pēlusiōtu

**Isidorus <Pelusiota>**

**Parisiis, 1585**

Eidem. 65.

urn:nbn:de:hbz:466:1-71898

Visual Library

φωρᾶσθαι οὐκ ἠρυθρίασεν. ἀλλὰ καὶ φλυαρίαις τὴν σὴν ἠμείψατο φιλοσοφίαν. μὴ τοίνυν δυσχεράνῃς, εἰ ἄνθρωπος μήτ᾽ ἀρετῆς φροντίζων, μήτε φόβον θεῖον ἐν στέρνοις ἔχων, κατὰ τῆς σῆς ἐπιεικείας ὥπλισε τὴν γλῶτταν. ἀλλὰ προσδόκα καὶ ὑπὲρ τούτου στέφανον.

ſcio quonam pacto ordinatus, ſe minimè deprehenſum eſſe arbitratus, non modò non erubuit, ſed etiam ſcitum tuum ac ſapiens conſiliũ nugacibus verbis remuneratus eſt. Tu verò ne hoc indigno atque acerbo animo feras, hominẽ nec vllam virtutis curam gerentẽ, nec Dei metũ in præcordiis cõditum habentem, linguã aduerſus tuam lenitatẽ ac facilitatẽ armaſſe. Verùm hoc quoque nomine coronã expecta.

Νείλῳ διακόνῳ. ξδ.

Ἡ ἀλήθεια πάσας τὰς τέχνας καὶ τὰς ἐπιστήμας κοσμεῖ. εἰ δ᾽ αὐτὴ ἀπείη, οὐδεμίαν ἔχουσι κοσμιότητος ὥραν. φιλοσοφία μὲν γὰρ ἡ παρ᾽ ἕλλησι τὴν ἀλήθειαν ἐπαγγελλομένη ζητεῖν, ταύτης ἐκπέπτωκε. ῥητορικὴ δὲ δεινότητος καὶ ἁβρότητος μόνον φροντίζει. γραμματικὴ δὲ τὴν τῶν λόγων ἐμπειρίαν διδάσκειν αὐχεῖ. εἰ μὲν οὖν αὗται τῇ ἀληθείᾳ καλλωπίζονται, ποθειναὶ ὀφείλουσιν εἶναι τοῖς ἐχέφροσιν. εἰ δὲ κατ᾽ αὐτῆς ὁπλίζοιντο, ἀτιμάζεσθαί εἰσι δίκαιοι.

*Nilo Diacono.* 64.

Veritas omnibus artibus & diſciplinis ornamentum affert: quæ ſi abſit, omni ornatu, & elegantia carent. Ethnicorũ enim philoſophia, cùm ſe veritatẽ quærere profiteatur, ab ea excidit. Rhetorica autem eloquentiam duntaxat ac verborum delicias curat. Grammatica denique ſermonum peritiam ſe traditurам iactat. Quocirca ſi hæ veritate coornentur, prudentibus viris charæ eſſe debent. Si autem aduerſus eam arma capiant, optimo iure contemnendæ ſunt.

Τῷ αὐτῷ. ξε.

Οὐκ ἔστιν ἄλογος ὁ εὐαγγελικὸς χρησμὸς, ἀλλὰ νοῦ καὶ λογισμοῦ μεστός. μεγάλου γὰρ καὶ δοκοῦντος καὶ ὄντος τοῦ κρατεῖν ἐπιθυμίας, μεῖζόν ἐστι τὸ προνοεῖν ὅπως μὴ ἁλοίη τῇ νόσῳ. τοῦτο γοῦν αὐτὸ κατασκευάζων ὁ Χριστὸς ἔφη, Πᾶς ὁ βλέπων γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ ἑαυτοῦ. οὐ τὸν ἐκ παρόδου καὶ ἐξαίφνης ἑωρακότα, καὶ τρωθέντα, καὶ ἐξελκύσαντα τὸ βέλος, καὶ τὸ τραῦμα θεραπεύσαντα μοιχὸν ἀποφαίνων. οὐ γὰρ εἶπεν, ὁ θεασάμενος, ἀλλ᾽ ὁ θεώμενος, ὁ ἐκ προενθυμήσεως τὸ πάθος ἐπισπασάμενος, καὶ παρ᾽ ἑαυτῷ τρέφων καὶ συνεχῶς φοιτῶν πρὸς τὴν θεαθεῖσαν, καὶ περιεργαζόμενος κάλλος ἀλλότριον, καὶ διὰ τῆς συνεχοῦς θέας

*Eidem.* 65.

Euangelicum oraculũ haudquaquam ratione caret, verùm mente ac prudentia plenum eſt. Nam cùm magnum, vt reuera eſt, eſſe videatur cupiditati imperare, maius ac præclarius eſt prouidere ne quis hoc morbo corripiatur. Hoc igitur ipſum moliens Chriſtus his verbis vſus eſt, Quicunque videt mulierem ad concupiſcendum, iam mœchatus eſt in corde ſuo. Quibus verbis non eum qui obiter ac repentè eam vidit, ac vulnere affectus, ac telum ſtatim extraxit, vulnúſque curauit, adulterum eſſe pronunciat. Non enim dixit, Qui vidit, ſed, Qui videt, hoc eſt qui ex antecedẽte cogitatione morbum attraxit, & apud ſe nutrit, atque ad eã, quã aſpexit, iteditem commeat, alienámque pulchritudinem curioſè perſcrutatur, ac per continuũ aſpectum voluptatẽ quodammodo

carpit. Enimuerò tu quidē tutò rebus tuis consulens, oraculum istud meritò pertimescis: atque, vt ipsum tibi exponam, rogas, iisque diffidis, qui eo stuporis atque amentiæ procedunt, vt negent aspectum, ei, qui cernit, detrimenti quicquā importare. Ego autem, vt te hoc nomine laudo, quòd salutis tuæ curam geras, ita de illis hoc dico, præstantiorem esse securitatem, quàm periculosam contentionē, piúmque & æquissimum esse, diuinas leges propriis rationibus antiquiores habere. Quid si quis mihi obtemperandū non putat, Prouerbiorum authorem saltem audiat, qui ante oraculum Euangelicum his verbis vsus est: Ne oculum tuum in ipsam defigas, verùm statim auola, nec moram vllam in eo loco trahe. Et item Scriptorem omni virtutis genere cumulatum, nunc quidem dicentem, In pulchritudine mulieris multi seducti sunt: nunc autem, Ne condiscas alienam pulchritudinem. Non dixit, Ne spectes (potest enim id casu ac fortuitò accidere) sed, Ne condiscas, meditatam videlicet consideratione̅, & curiosum aspectum, atque cum cupiditate coniunctam contemplationem de medio tollens. Amicitia enim, inquit, hinc tanquā ignis exardescit: hoc est, obscœnus amor hinc oritur. Quin externis etiam hominibus, quibus hæc synceritas haud admodum curæ fuit, hoc & consentaneum, & verum esse visum est. Ac Socrates quoque (nam eorū etiam dicta commemorabo, quoniam ad pudicitiam & castitatē incitant) cùm quendam formoso adolescenti osculum figentem conspexisset, Hic, inquit, facilè gladiatorum cuspidibus innataret, atque in ignem insiliret, qui scilicet tantū in seipso incendium per osculum excitare minimè dubitarit. Diogenes item adolescentem lasciuiùs, quàm virum deceret, ornatum conspicatus, hæc ad eum verba habuit: Si ad viros te confers miser es, si ad mulieres iniquus. Etenim per nimium ornandi corporis studium, viri quidem fœminas, fœminæ autem & cinædi viros captant. Sed & Agesilaus puerum egregia forma, quem

τρόπον τινὰ τῆς ἡδονῆς ἀπολαύων. σὺ μὲν οὖν ἀσφαλῶς τὰ κατὰ σαυτοῦ οἰκονομῶν εἰκότως φρίττεις τὸν χρησμὸν, καὶ ἑρμηνευθῆναί σοι παρακαλεῖς, καὶ ἀπιστεῖς τοῖς εἰς τοσοῦτον ἥκουσιν ἀναισθησίας, ὡς λέγειν ὅτι οὐδὲν ἡ θέα βλάπτει τὸν ὁρῶντα. ἐγὼ δέ σε μὲν ἀποδέχομαι φροντίζοντα τῆς οἰκείας σωτηρίας. περὶ δὲ ἐκείνων φημὶ, ὅτι κρείττων ἀσφάλεια φιλοτιμίας ἐπισφαλοῦς. καὶ τὸ τοὺς θείους χρησμοὺς τῶν οἰκείων λογισμῶν προτιμοτέρους ἄγειν, καὶ εὐαγὲς, καὶ δικαιότατον. εἰ δέ τις οὐ πείθεται, ἀκουέτω κἂν τοῦ παροιμιαστοῦ πρὸ τοῦ εὐαγγελικοῦ χρησμοῦ εἰρηκότος, Μὴ ἐπιστήσῃς τὸ σὸν ὄμμα πρὸς αὐτὴν, ἀλλὰ ἀποπήδησον, μὴ ἐγχρονίσῃς ἐν τῷ τόπῳ, καὶ τοῦ τῆς παναρέτου συγγραφέως. ποτὲ μὲν λέγοντος, Ἐν κάλλει γυναικὸς πολλοὶ ἐπλανήθησαν· ποτὲ δὲ, Μὴ καταμάνθανε κάλλος ἀλλότριον. οὐκ εἶπε μὴ ἴδῃς· συμβαίνει γὰρ ἀπὸ ταυτομάτου γίνεσθαι τοῦτο, ἀλλὰ μὴ καταμάνθανε, τὴν ἐκ μελέτης κατανόησιν, τὴν περίεργον ὄψιν, τὴν μετ' ἐπιθυμίας θεωρίαν ἀναιρῶν. φιλία γάρ φησιν ἐκ τούτου ὡς πῦρ ἀνακαίεται. τουτέστιν ἔρως αἰσχρὸς ἐκ τούτου τίκτεται, καὶ τοῖς ἔξωθεν δὲ ἀνθρώποις μὴ πάνυ ταύτης τῆς ἀκριβείας πεφροντικόσι. τοῦτο καὶ εἰκὸς καὶ ἀληθὲς ἔδοξεν εἶναι, καὶ Σωκράτης δέ. λέξω γὰρ καὶ τὰ ἐκείνων, ἐπειδὴ πρὸς σωφροσύνην ἀλείφει, ἰδὼν τινὰ φιλήσαντα νέον εὔμορφον· οὗτος, ἔφη, ῥᾳδίως ἂν καὶ εἰς μαχαίρας κυβιστήσειεν, καὶ εἰς πῦρ ἁλοίῃ, ὁ τοσαύτην δηλονότι τολμήσας ἐν ἑαυτῷ, ἀνάψαι διὰ τοῦ φιλήματος τὴν πυράν. Διογένης δ' ἰδὼν μειράκιον ἀσελγέστερον ἢ κατ' ἄνδρα κεκοσμημένον, ἔφη, εἰ μὲν πρὸς ἄνδρας, ἀτυχεῖς. εἰ δὲ πρὸς γυναῖκας, ἀδικεῖς. θηρῶσι γὰρ διὰ τοῦ καλλωπισμοῦ οἱ μὲν ἄνδρες τὰς γυναῖκας· αἱ δὲ γυναῖκες, καὶ οἱ ἀνδρόγυνοι, τοὺς ἄνδρας. Ἀγησίλαος δὲ παῖδα εὔμορφον,

οὗ ἤρα

οὐ ἤρα βουλόμενον αὐτὸν φιλῆσαι διεκώλυεν. Ἀλέξανδρος δὲ οὐδὲ ἰδεῖν τὴν Δαρείου ὑπέμεινεν· αἰσχρὸν νομίσας τοὺς ἄνδρας ἑλόντα γυναικὶ ἡττηθῆναι. εἰ δὲ μὴ μόνον ἑλληνικοῖς, ἀλλὰ καὶ βαρβαρικοῖς χρὴ παραδείγμασι χρήσασθαι, οὐδὲ τοῦτο ποιῆσαι παραιτήσομαι. Κῦρος γοῦν ὁ Περσῶν βασιλεὺς οὐδὲ ἰδεῖν τὴν Πάνθειαν ἀφορισθεῖσαν αὐτῷ. καὶ ἀμήχανόν τι κάλλος ἔχειν μαρτυρουμένην ἐτόλμησεν. ἀλλὰ καὶ τῷ ὁρῶντι συνεχῶς καὶ μηδὲν λέγοντι πάσχειν δεινόν, παρῄνει, μὴ συνεχῶς εἰς αὐτὴν ὁρᾶν. τὸ μὲν γὰρ πῦρ, φησι, τοὺς ἐγγὺς ὄντας κατακαίει. τὸ δὲ κάλλος, καὶ τοὺς πόῤῥω ἑστῶτας, καὶ οὐκ ἐψεύσατο. ἑάλω γὰρ ἐκεῖνος ὁ κρείττων εἶναι φήσας τῆς ἡδονῆς, καὶ ἐπειδὴ πείθειν οὐκ ἠδύνατο. σώφρων γὰρ ἦν ἐκείνη, βίαν αὐτῇ ἐπάξειν ἠπείλησεν, ἕως ἐκείνη τῷ Κύρῳ ἐμήνυσεν, ὅστις συγγνοὺς ὅτι ἀμάχῳ θηρίῳ συγκατειργμένος, ἔπαθεν ὅπερ ἔπαθεν. ἐδήλωσε τῷ μηδὲν ἐκ τῆς θέας βλάπτεσθαι ἀλαζονευομένῳ. εἰ μὲν πείθεις τὴν γυναῖκα, καὶ δή. εἰ δὲ βιάζῃ, οὐ συγχωρῶ. εἰ τοίνυν, καὶ ὁ εὐαγγελικὸς χρησμός, καὶ ὁ τῶν παροιμιῶν συγγραφεύς, ὁ τὴν σοφίαν συντάξας, καὶ τὰ ἑλληνικὰ καὶ περσικὰ παραδείγματα εἰς ταὐτὸ συμβαίνουσι, φυλακτέον παντὶ σθένει. καὶ χαλινωτέον τοὺς ὀφθαλμούς, καὶ ἀφεκτέον τῆς περιέργου, καὶ ἀκολάστου θέας, ὡς τῶν καιρίων καθαπτομένης. μεγίστη γὰρ ἐκ ταύτης εἰς τὴν ψυχὴν εἰσρεῖ κακία. τὰ γὰρ καίρια αὐτῆς προκαταχοῦσα, καὶ τὸν λογισμὸν ἐξελάσασα ὅλην αὐτὴν τοῦ πάθους εἶναι ποιεῖ.

amabat, cùm ipſum oſculari vellet, inhibuit. Alexander verò Darij vxorem ne intueri quidē ſuſtinuit: quòd turpe eſſe cenſeret, eum, qui viros ſuperaſſet, à fœminis vinci. Quòd ſi non modò Græcorum, ſed etiam Barbarorum exemplis vtendum eſt, ne hoc quidem facere detrectabo. Cyrus igitur Perſarum rex, Pantheam, quæ ipſi aſſignata fuerat, atque incredibili quadam pulchritudine prædita eſſe ferebatur, ne conſpicere quidem auſus eſt. Quinetiam eũ, qui ipſam aſſiduè cernebat, nec ſe vllo propterea libidinis motu agitari dicebat, vt ne eam aſſiduè perſpiceret, admonebat. Ignis enim, inquiebat, eos duntaxat, qui propiùs ad eum accedunt, exurit: pulchritudo autē eos etiā, qui procul remoti ſunt. Nec verò hac in re mentitus eſt. Nam ille, qui voluptate ſuperiorē ſe eſſe prædicarat, captus eſt. Ac quia eā nulla oratione permouere poterat (pudicitię enim laude pręſtabat) vim ſe ipſi allaturum eſſe denunciauit, quo ad illa tandē de hac re Cyrum certiorem fecit. Qui cùm intelligeret, eũ, propterea quòd cũ eiuſmodi fera, cui nullæ vires pares eſſe queant, incluſus extitiſſet, in hanc fraudem incidiſſe, ipſi, qui ſe nullo ex aſpectu detrimēto affici nimis inſolenter gloriabatur, hæc ſignificauit: Si mulieri, quod cupis, perſuades, per me id licet. Si autem vim adhibes, id minimè patiar. Cùm igitur & Euangelicum oraculũ, & Prouerbiorum author, & qui Sapientiæ librum condidit, & tam Græca, quàm Perſica exempla in hoc conueniant, omnibus viribus oculos cuſtodire, ac velut inuicto fræno coërcere oportet, atque à curioſo & impudico cōſpectu, vt intimas animi partes perſtringente, ſeſe abſtinere. Maxima enim ex ea in animum improbitas influit. Nam cùm ipſius arcem occuparit, ac rationem expulerit, totam eam libidini addictam ac mancipatam reddit.

### Ζωσίμῳ πρεσβυτέρῳ. ξζ.

Πυθόμενος ὅτι δέον σε προσδραμεῖν τῇ μετανοίᾳ, δέον αἰτῆσαι συγγνώμην

### *Zoſimo Presbytero.* 67.

Poſteaquàm intellexi te, pro eo quòd ad pœnitentiam accurrere, ac ſcelerum tuorũ